# 01 NOIEMBRIE
# HARALAMBOS BOUSIA

# SLUJBA SF.CUVIOŞI-MUCENICI IACOB 1,IACOB 2 ŞI DIONISIE DE LA IVIRON-ATHOS

# MINEIUL-GR


Ο ΑΓΙΟΣ ΙΑΚΩΒΟΣ
Ο ΑΓΙΟΣ ΙΑΚΩΒΟΣ
Ο ΕΚ ΚΑΣΤΟΡΙΑΣ
Ο ΑΓΙΟΣ ΔΙΟΝΥΣΙΟΣ
ΟΣΤΙΣ ΣΩ
ΜΑ ΕΝΙΚΗ
ΣΕΝ ΟΥΤΟΣ
ΦΥΣΙΝ ΕΝΙ
ΚΗΣΕΝ. Ο
ΔΕ ΤΗΝ ΦΥ
ΣΙΝ ΝΙΚΗ
ΣΑΣ ΠΑΝΤ
ΩΣ ΥΠΕΡ
ΔΗΜΟΣΙΕΥΣΗ - ROMFEA.GR

# Ἀκολουθία Ὁσιομαρτύρων ΙΑΚΩΒΟΥ, ΔΙΟΝΥΣΙΟΥ καὶ ΙΑΚΩΒΟΥ

Δρ. Χαρ. Μπούσια

Ψαλλομένη τῇ 1η Νοεμβρίου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ὁσίων Μαρτύρων νεαυγῶν, ἀκρεμών, Ἰάκωβε, εὐαρεστήσας τῷ Κτίσαντι, πρῶτον ἀσκήσεως, πόνοις σου συντόνοις, καὶ στεῤῥᾶς ἀθλήσεως, καμάτοις σου σεπτοῖς εἶτα ἔδραμες, σὺν τῶν συνάθλων σου, ξυνωρίδι πρὸς σκηνώματα, θείας δόξης, Αὐτῷ συνευφραίνεσθαι.

Σεμνύνεται σῇ ἀσκητικῇ, ἀγωγῇ, Ἰάκωβε, Δοχειαρίου ἡ εὔσημος, Μάνδρα ἐν Ἄθωνι, Σκήτη τοῦ Προδρόμου, θεοφόρε Ὅσιε,Ἰβήρων τῆς Μονῆς καὶ ἡ πάνσεπτος, Μάνδρα, μακάριε,Δερβεκίστης, ἐξ ἧς ἤρχισας, τὸν ἀγῶνα, καλῆς σου ἀθλήσεως.

Ὡς ἄνθρωπον ὄντως τοῦ Θεοῦ, Αἰτωλοί σε ἔγνωσαν,σημειοφόρον καὶ ὅσιον, μάκαρ Ἰάκωβε, φθόνῳ συλληφθέντα, ὑπ’ ἐχθρῶν τῆς

πίστεως, εἱρκτῇ κατακλεισθέντα, μαστίγιον,καθυπομείναντα, καὶ ἀγχόνην σὺν συνάθλων σου, ξυνωρίδι, μεθ' ὧν πόλου ἔτυχες.

Ἰάκωβε, Γέρων ἀσκητὰ, τῆς Ἰβήρων Σκήτεως, σὺν Διακόνῳ ἀλκίφρονι, τῷ φερωνύμῳ σου, μαθητῇ, τρισμάκαρ, Μάρτυς ὁσιώτατε, καὶ τῷ Διονυσίῳ τῷ ἔμφρονι, δρόμον ἐτέλεσας ,μαρτυρίου σὸν ἐπίγειον, ἐν ἀγχόνης, τῷ βρόγχῳ, πολύαθλε.

Δόξα. Ἦχος πλ. δ΄.

Τὸν πνευματοφόρον καὶ σημειοφόρον Ὁσιομάρτυρα, φθόνῳ ἐν νεότητι τῆς πατρῴας ἑστίας, καὶ ἐν γήρᾳ τῆς Μονῆς Δερβεκίστης μακρυνθέντα, Ἰάκωβον τὸν Καστοριέα, εὐφημήσωμεν οὕτω λέγοντες· ὁ σὺν Ἰακώβῳ τῷ Διακόνῳ καί τῷ μοναχῷ Διονυσίῳ, ἐν Ἀδριανουπόλει μαρτυρικῶς τελέσας τὸν βίον, καὶ ἀξιωθεὶς δήμοις τῶν πάλαι Μαρτύρων καὶ Ὁσίων συναγάλλεσθαι, ἀκλινῶς Χριστὸν καθικέτευε, ὑπὲρ τῶν τιμώντων τὴν στεῤῥάν σου ἐνάθλησιν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι...

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε, ὁ γεραρὸς, Χριστοῦ Ὁσιομάρτυς, τῆς Καστορίας γόνε,ὁ τρόπαιον ἐγείρας, τῆς εὐσεβείας πάνσεπτον.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Γέρων πανευλαβές, Ἰάκωβε, προθύμως, σὺν μαθητῶν δυάδι,σῶν εὐσταλῶν τὴν τρίβον, ἀθλήσεως διήνυσας.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαῖρε, ὁ μοναστὴς, τῆς Σκήτεως Προδρόμου, καὶ Δερβεκίστης Μάνδρας, τῆς ἐν τῇ Αἰτωλίᾳ, Ἰάκωβε στεῤῥόψυχε.

Δόξα. Τριαδικόν.

Δόξα Σοι, ὁ Θεός, Ὁσίων καὶ Μαρτύρων, τὸ καύχημα καὶ σθένος, Τριὰς Ὑπεραγία, ὑπέρχρονε καὶ πάνσεπτε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Μῆτερ Θεοῦ, καταφυγὴ Σῶν δούλων, ἐν πάσει περιστάσει, καὶ χαρμονὴ τῶν ὄντων, ἐν λυπηροῖς καὶ θλίψεσι.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Καστορία σεμνύνεται τοῖς σπαργάνοις σου, Ἰβήρων Σκήτη καὶ Μάνδρα τῆς Δερβεκίστης τῇ σῇ , ἐνασκήσει καὶ κλεινὴ Ἀδριανούπολις, πόνοις σου τοῖς μαρτυρικοῖς, Ὁσιόαθλε στεῤῥέ,Ἰάκωβε, ὁ ἀθλήσας, σὺν μαθητῶν σου δυάδι, μεθ' ὧν Χριστὸν ἡμῖν ἱλέωσαι.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακὸς καί τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Μάκαρ ὁσιόαθλε, περιοικίδος ἐκβλάστημα, Καστορίας, ἐξήνθησας,κιννάμωμα εὔοσμα, ἀγωγῆς ἀμέμπτου, ἐν Ἁγίῳ Ὄρει, καὶ Δερβεκίστης τῇ Μονῇ, καὶ πάντας ἤδυνας τῇ ἀθλήσει σου, Ἰάκωβε περίδοξε, ὁ ἐν ἀγχόνῃ τὸν βίον σου, περατώσας συνάθλων σου, σὺν δυάδι ἀλκίφρονι.

Φθόνον σοῦ ὁμαίμονος, φεύγων ἑστίαν κατέλιπες, σὴν πατρῴαν καὶ ᾤκησας, Ἰάκωβε πάντιμε, Βασιλίδα Πόλιν, ἐξ ἧς παροτρύνσει, Ἀρχιερέως ταπεινοῦ, Ὁσίου Νήφωνος, εἰς τὸν Ἄθωνα, προσῆλθες, οὗ ἡγίασας, ῥείθροις τοῖς σοῖς Δοχειάριον, καὶ Ἴβηρων τὴν εὔσημον, Σκήτην, Πάτερ, ἱδρώτων σου.

Πάτερ πανσεβάσμιε, Ὁσιομάρτυς Ἰάκωβε, τῇ ὁδῷ ἠκολούθησας,ἀόκνου ἀσκήσεως, καὶ χαμαικοιτίᾳ, στάσεσι παννύχοις, ἀδιαλείπτῳ προσευχῇ, καὶ ταπεινώσει εἰς ὕψος ἔφθασας, θεώσεως πανάῤῥητον, εἰς ὃ καὶ πάντας ὡδήγησας, μαθητάς σου ὡς ἄριστος, ποδηγέτης καὶ πάνσοφος.

Πάντιμε Ἰάκωβε, ἡγιασμένε τῷ σώματι, καὶ ψυχῇ ἐκ νεότητος,δυολείας ἐν ἔτεσι, τοῖς ἐκγόσιν Ἄγαρ, τὴν

ἐλευθερίαν, Χριστοῦ τοῖς δήμοις Αἰτωλῶν, τοῖς ἐκζητοῦσι τὰς νουθεσίας σου, τὴν ἔνθεον ἐδίδασκες, καὶ διὰ τοῦτο ἐκίνησας, κατὰ σοῦ φθόνον, Ἅγιε, τῶν τοῦ σκότους δυνάμεων.

Οὐκ ἦν τὰ παθήματα, τοῦ νῦν καιροῦ, Πάτερ, ἄξια, πρὸς τὴν μέλλουσαν εὔκλειαν, ἐλάλεις, Ἰάκωβε, ἀποκαλυφθῆναι, εἰς ἡμᾶς, τοὺς δρόμῳ, ἀκολουθοῦντας ἀκλινῶς, διὰ τὴν πίστιν τῆς ἐναθλήσεως, καὶ πόθῳ προσεχώρησας, εἰς τὴν ἀγχόνην γηθόμενος, σὺν δυάδι ἀλκίφρονι, μαθητῶν τῶν ἐνδόξων σου.

Ἀδριανουπόλεως, τὴν χθόνα καθηγιάσατε, μαρτυρίου τοῖς σκάμμασιν, ὑμῶν ἐν τοῖς ἔτεσι, τοῖς ἐσχάτοις, θεῖοι, καὶ ὑμῶν ἀγχόνῃ, Ὁσιομάρτυρες σεπτοί, Γέρων Ἰάκωβε, τρισμακάριστε, Ἰά-κωβε Διάκονε, καὶ εὐλαβὲς Διονύσιε, μαθηταὶ αὐτοῦ τίμιοι, καὶ πανένδοξοι σύναθλοι.

Δόξα. Ἦχος πλ. β΄.

Ἐμπρέπων θεοσοφίᾳ καὶ ταπεινώσει, ὁσιακῶς τὸν βίον διήνυσας, καὶ μαρτυρικῶς ἀπῆλθες πρὸς δώματα οὐράνια, Ἰάκωβε, Ὁσιομάρτυς θειότατε,σὺν Ἰακώβῳ καὶ Διονυσίῳ, τῇ ξυνωρίδι τῶν μαθητῶν καὶ συνάθλων σου·αὐτοῖς οὖν νῦν συναγαλλόμενος, καὶ μετέχων τῆς χαρᾶς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, Αὐτοῦ μὴ παύσῃ δεόμενος, ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε,...

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. β΄ 1 - 11).

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι Αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον Αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τάς ὁδούς σου καὶ ἔλπισον ἐπ' Αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος Αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε Αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη; Ἢ τίς ἐπεκαλέσατο Αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. α΄ 1 - 10).

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν

ἁπλότητι καρδίας ζητήσατε Αὐτὸν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν Αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν Αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· Ἅγιον γὰρ Πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ Πνεῦμα σοφίας καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐ δὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει, εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν

ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἲς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α'.

Δεῦτε φιλομάρτυρες πάντες, ἐν κατανύξει συνέλθωμεν τιμῆσαι,Ὁσιομάρτυρος Ἰακώβου τοῦ Νέου, καὶ τῶν αὐτοῦ μαθητῶν καὶ συνάθλων, Ἰακώβου καὶ Διονυσίου, τὴν πανσεβάσμιον μνήμην,πανευλαβῶς λέγοντες· διδάσκαλε τῆς ἀρετῆς θεόσοφε, καὶ μαθηταὶ αὐτοῦ εὐπειθέστατοι, οἱ διὰ Χριστοῦ τὴν ἀγάπην μαρτυρήσαντες, καὶ στεφανωθέντες ἀφθαρσίας στεφάνοις, ἐκτενῶς Αὐτὸν δυσωπεῖτε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τὸν ἐν Ἀσκηταῖς ὁσιώτατον, καὶ ἐν Μάρτυσι γενναιότατον, Ἰάκωβον τιμήσωμεν, τὸν νέον

Ὁσιομάρτυρα, ἐν Ἀδριανουπόλει ἀχγόνῃ τελευτήσαντα, σὺν τοῖς δυσὶν αὐτοῦ μαθηταῖς καὶ συμμάρτυσιν, Διακόνῳ Ἰακώβῳ καὶ μοναχῷ Διονυσίῳ, οὕτω λέγοντες· ὁ ὑπὲρ πάντας φιλῶν τὸν Κύριον τῆς δόξης, καὶ δι' Αὐτὸν ὑπομείνας κολασμοὺς ἀνυποίστους, μνημόνευε τῶν εὐφημούντων τὴν ἀεισέβαστον μνήμην σου.

Ἦχος γ'.

Δερβεκίστης τὴν Μάνδραν ἐν Αἰτωλίᾳ, κονίστραν τῶν ἀσκητικῶν σου ἀνέδειξας παλαισμάτων, ἐν ᾗ ἐπύκτευσας τὸν πτερνιστὴν τὸν ἀρχαῖον, Ἰάκωβε χαριτόβρυτε· ἐπαρθεὶς ὅθεν εἰς ἀρετῶν ὕψος ἄῤῥητον, μαρτυρικοῖς πόνοις τὸν βίον ἐτελεύτησας,σὺν Ἰακώβῳ καὶ Διονυσίῳ, μεθ' ὧν Κυρίῳ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων, τὴν σὴν πανσεβάσμιον ἄθλησιν.

Ἦχος δ'.

Τὸν μιαιφόνοις χερσὶ τῶν ἀπογόνων τῆς Ἄγαρ, ἀγχόνῃ ἐν Ἀδριανουπόλει ἀπαιωρισθέντα, σὺν μαθητῶν αὐτοῦ ξυνωρίδι,Ἰάκωβον ὑμνήσωμεν, ὡς πίστεως καύχημα καὶ ἀνδρείας ἐκτύπωμα,ἐν εὐλαβείᾳ λέγοντες· Καστορίας περιοικίδος ἐκβλάστημα, καὶ Σκήτεως Ἰβήρων ἰσάγγελε ἔνοικε, ῥῦσαι πειρασμῶν και θλίψεων εὐχαῖς σου, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὡς ἅρπα καλλίχορδος καὶ ψαλτήριον παναρμόνιον, ἀγωγῆς φιλοσίου καὶ μαρτυρικῶν

κατορθωμάτων, ηὔφρανας Χριστωνύμων τοὺς δήμους, Ἰάκωβε, ὁ ἐκ τῆς Καστορίας ὁρμώμενος, ἐν Σκήτῃ Ἰβήρων καὶ Μονῇ Δερβεκίστης, ἀμέμπτῳ πολιτείᾳ διαλάμψας, καὶ Ἀδριανουπόλεως τὴν χθόνα μαρτυρίῳ σου ἁγιάσας· ὅθεν τὴν μνήμην σου πανευλαβῶς σέβοντες, καὶ σὺν τοῖς συνάθλοις σου μακαρίζοντές σε, τὰς ἀσιγήτους σου εὐχὰς ἐκδεχόμεθα, πρὸς βίον κρείττονα.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου...

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ὁ τῆς ἀνδρείας φωστήρ, τῆς Καστορίας τηλαυγέστατον πύρσευμα, ὁ φάρος τῆς εὐσεβείας, τῶν μοναζόντων ἀστήρ, Ἀθλητῶν εὐψύχων νέων αὔγασμα, Ἰάκωβε πάντιμε, θεαυγὲς Ὁσιόαθλε, ὁ καταυγάσας, ἀστραπαῖς σῆς ἀσκήσεως, καὶ ἀθλήσεως,ταῖς ἀκτῖσι τὰ σύμπαντα· Πάτερ θεοφορούμενε, Ἰβήρων τῆς Σκήτεως, καὶ Δερβεκίστης Σεμνείου, περιφανὲς σεμνολόγημα,Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ὁ φθόνῳ διαβληθεὶς, ἀπίστων Ἄγαρ, θεοφόρε, τοῖς ἔκγοσιν, ὡς πρόβολος εὐσεβείας, καὶ ὑπ᾽ αὐτῶν ἀκλινῶς, ὑπομείνας χαίρων κολαστήρια, εἱρκτὴν πολυώδυνον, ἐν Τρικάλοις, σαρκίου σου, ὄνυξι ξέσιν, σιδηροῖς καὶ ἐξάρθρωσιν, σιαγόνος σου,

Ὁσιόαθλε ἄλκιμε, ἐν Ἀδριανουπόλεως, ταῖς ῥύμαις, Ἰάκωβε, σὺν τοῖς δυσί σου συνάθλοις, καὶ μαθηταῖς, καρτερόψυχε, σεπτῷ Ἰακώβῳ, καὶ στεῤῥῷ Διονυσίῳ, Πάτερ πανάριστε.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Μνήμην ἐπιτελοῦντες ὑμῶν, Ὁσιομάρτυρες καλλίνικοι ἅπαντες, οἱ δῆμοι τῶν Χριστωνύμων, ἐν εὐλαβείᾳ πολλῇ, τοὺς ὑμῶν καμάτους μεγαλύνομεν, Ἰάκωβε πάντιμε, τοῦ σταδίου διάκοσμε, σὺν Ἰακώβῳ, Διακόνῳ συμμάρτυρι, σοῦ καὶ σώφρονι, μοναστῇ τοῦ Σεμνείου σου, Διονυσίῳ, ᾄσμασι, τερπνοῖς καὶ κραυγάζομεν· οἱ ἐν ἀγχόνῃ τὸν βίον, ἐπὶ τῆς γῆς περατώσαντες, καὶ στέφη λαβόντες, οὐρανόθεν, ἱλεοῦσθε, ἡμῖν τὸν Ὕψιστον.

Δόξα. Ἦχος πλ. δ΄.

Τὰς μηχανὰς καταστρέψας τοῦ παμβεβήλου, προσευχῇ, ταπεινώσει καὶ σκληραγωγίᾳ, νικήτωρ πρὸς μαρτύριον ἐχώρησας, Ἰάκωβε, Ὁσιομαρτύρων νέων ἀκροθίνιον· τὸ βραβεῖον ὅθεν λαβὼν τῆς ἄνω κλήσεως, σὺν Ἰακώβῳ καὶ Διονυσίῳ, τοῖς μαθηταῖς καὶ συνάθλοις σου, ἀεὶ Χριστῷ συνεπαγάλλῃ, τῷ παρέχοντι πᾶσιν ἡμῖν εὐχαῖς σου, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον· Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Καστορία σεμνύνεται τοῖς σπαργάνοις σου, Ἰβήρων Σκήτη καὶ Μάνδρα τῆς Δερβεκίστης τῇ σῇ, ἐνασκήσει καὶ κλεινὴ Ἀδριανούπολις, πόνοις σου τοῖς μαρτυρικοῖς, Ὁσιόαθλε στεῤῥέ, Ἰάκωβε, ὁ ἀθλήσας, σὺν μαθητῶν σου δυάδι, μεθ' ὧν Χριστὸν ἡμῖν ἱλέωσαι.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου, Σωτήρ.

Ἀστέρες τηλαυγεῖς, ἐν νυκτὶ ἀσελήνῳ, φωτίζοντες πιστῶν, τὰς χορείας ἀκτῖσιν, ἐνθέου ἀσκήσεως, καὶ ἀλκίμου ἀθλήσεως, ἄρτι ὤφθητε, Γέρων Ἰάκωβε, μάκαρ, Διονύσιε, τῶν μοναστῶν κοσμιότης, καὶ ἄλλε Ἰάκωβε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ὁ πάντων Πλαστουργὸς καὶ Θεὸς ἐξ αἰῶνος, Σὲ εὕρατο, Ἁγνή, εὐωδέστατον κρίνον, ἁγνείας, Μητρόθεε, ἀρετῆς, ταπεινώσεως, καὶ συνέσεως, Θεοχαρίτωτε Κόρη, καὶ ἀνέδειξε, Σὲ τοῦ Αὐτοῦ Θεοῦ Λόγου σεπτὸν ἐνδιαίτημα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χορείαν τὴν τρίπλοκον τῶν ἀθλοφόρων Χριστοῦ, τοὺς οἴκους τῆς χάριτος καὶ τοὺς φανοὺς ἀσκητῶν, φαιδρῶς μεγαλύνωμεν· ὕμνοις ἀνευφημοῦντες, τὸν Ἰάκωβον πάντες, σὺν τῷ Διονυσίῳ, καὶ στεῤῥῷ Ἰακώβῳ, βοήσωμεν· κινδύνων ἡμᾶς, τάχος λυτρώσασθε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεόθεν ἁγίαζε καὶ ἐπευλόγει πιστούς, τοὺς Σὲ μεγαλύνοντας μελισταγέσιν ᾠδαῖς, καὶ ὕμνοις ἐμπρέπουσι, Δέσποινα Παναγία, Θεοτόκε Παρθένε,Ὑπερευλογημένη, προστασία Σῶν δούλων, ἑτοίμη ἐν τοῦ βίου δεινοῖς, καὶ περιστάσεσι.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Στενὴν καὶ δύσβατον, ὁδὸν ἀσκήσεως, ἀνύσας πρότερον, στεῤῥὲ Ἰάκωβε, καὶ εἶτα τῶν μαρτυρικῶν, καμάτων σὺν τῇ δυάδι, μαθητῶν εὐτόλμων σου, καὶ ἀλκίμων συνάθλων σου, Ἰακώβου ἔμφρονος, Διακόνου, πανάριστε, καὶ τοῦ Διονυσίου εἰς ὅρμον, πόλου σαφῶς ἐλλιμενίσθης.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Πηγὴν ζωήῤῥυτον, ἡ ἀναβλύσασα, ἐκ τῆς πανάγνου Σου, νηδύος, Δέσποινα, τὸν Ζωοδότην Ἰησοῦν, Πανύμνητε Θεοτόκε, τοὺς διψῶντας δούλους Σου, καθ' ἑκάστην τοῖς νάμασι, δαψιλῶς ἀμείνονος,

βιοτῆς καὶ θεώσεως, ποτίζεις τοὺς βοῶντας ἐκθύμως· χαῖρε, ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον· *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ι' 32-36, ια' 1).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἤ τι ἀπολογήσησθε, ἤ τι εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Ὁ Ν' (50) Ψαλμός.

Δόξα. Τοῦ Ὁσιοάθλου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Συνομοροῦντες ἐν αὐλαῖς οὐρανίαις, τῆς σὺν Χριστῷ ἀθανάτου εὐκλείας, Ἰάκωβε, Γέρον Ἅγιε, σὺν μαθητῶν σου δυάδι, Διονυσίῳ μοναχῷ καὶἸακώβῳ τῷ Διακόνῳ, τῶν πάλαι Ἀθλητῶν καὶ Ὁσίων ὁμότιμοι πέλετε· ὡς οὖν Ὁσιομάρτυρες καλλίνικοι, χάριν εὕρατε Χριστῷ, πρεσβεύειν ὑπὲρ τῶν τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καί τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·*Ἰακώβῳ Ὁσιοάθλῳ καὶ Συνοδίᾳ αἶνεσις. Χ.*

Ὠδὴ α΄ .Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἰάκωβε, κλέϊσμα, Ὁσιοάθλων περίδοξον, διάκοσμε πίστεως καὶ εὐψυχίας εἰκών, δι’ ἀγάπησιν, ὑπέμεινας ἀνδρείως, Χριστοῦ πολυώδυνον, ὄντως μαρτύριον.

Ἀσκήσεως ἄγαλμα, καὶ μαρτυρίου θεόγλυπτον, Ἰάκωβε πάντιμε, Ὁσιοάθλων κρηπίς, ἐπεσφράγισας, σοῖς αἵμασιν ἀρτίως, τὸν πάνσεμνον βίον σου, Πάτερ πανάριστε.

Κιννάμωμον εὔοσμον, τῆς Καστορίας, Ἰάκωβε, καὶ ῥόδον ἡδύπνευστον Βοεβονδάδων λαμπροῖς, διεκόσμησας, Χριστοῦ τὴν Ἐκκλησίαν, καμάτοις ἀσκήσεως, καὶ μαρτυρίου σου.

Θεοτοκίον.

Ὡράϊσμα πίστεως, Μῆτερ Θεοῦ Παντευλόγητε, ἡμῶν καθωράϊσον τὴν βιοτὴν Σαῖς εὐχαῖς, πρὸς τὸν

Τόκον Σου, τὸν θεῖον καὶ Σωτῆρα, ἡμῶν τῶν ἐν ᾄσμασι, μεγαλυνόντων Σε.

Ὠδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.

Βελῶν τοῦ δολίου βροτοκτόνου, Ἰάκωβε ἔνδοξε, ἀσπίς, Κυρίῳ εὐηρέστησας, ἀσκήσει καὶ ἀθλήσει σου, καὶ ἔδραμες ὡς ἔλαφος, Αὐτῷ συγχαίρειν ἀείποτε.

Ὡς ῥεῖθρον, Ἰάκωβε, ἀνδρείας, τιμῶμέν σε πάντες διειδές, πιάνα-ντα σοῖς αἵμασι, τῆς Ἀδριανουπόλεως, τὴν χθόνα σὺν συνάθλων σου, δυάδι τῇ καρτερόφρονι.

Ὁλόφωτον ἄστρον εὐψυχίας, Ἰάκωβε, σαῖς μαρμαρυγαῖς, ἀθλή-σεως ἐφώτισας, Χριστιανῶν συστήματα, ἐν τῷ καιρῷ δουλώσεως, αὐτῶν τῆς Ἄγαρ τοῖς ἔκγοσι.

Θεοτοκίον.

Στενώσεων, Κεχαριτωμένη, συντήρει Σοὺς δούλους ἀσινεῖς, ἀεὶ Σε μακαρίζοντας, Θεογεννῆτορ Ἄχραντε, ὡς λυπηρῶν ὀλέτειραν, καὶ χαρμονῆς πάντων πρόξενον.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Σκήτης ἔνοικε, σεπτὲ Ἰβήρων, εὐκλεέστατε, Ὁσιομάρτυς, ἀθλητῶν λαμπὰς Ἀδριανουπόλεως, ὁ ἐν ἀγχόνῃ τελέσας, Ἰάκωβε, σὴν βιοτὴν σὺν δυάδι συνάθλων σου, δόξης ἔτυχες ἀῤῥήτου ἐν πόλου δώμασιν, ἐν οἷς ὑπὲρ ἡμῶν πρεσβεύεις Κτίσαντι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Σπεῦσον Πάναγνε, Θεογεννῆτορ, βοηθῆσαί μοι, ἐν κακουχίαις, καὶ στενώσεσι τῷ Σοὶ καταφεύγοντι, καὶ ἐκζητοῦντι θερμῶς προστασίαν Σου, καὶ ἀρωγήν Σου ἑτοίμην, Πανύμνητε, κόσμου στήριγμα ἀσάλευτον καὶ προπύργιον, δεινῶς πολεμουμένων, Μητροπάρθενε.

ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὁσιότητος πυξίον, θεοφόρε Ἰάκωβε, Δερβεκίστης Μάνδρας, ἔνοικε, τοῦ φθόνου τὰ βέλεμνα, ἐσκοτισμένων ὑπέμεινας τὰ ἔμπονα, καὶ ἐβάδισας, στεῤῥῶς ὁδὸν τῆς ἀθλήσεως.

Ὁ θεόφρον Πατριάρχης, Κωνσταντίνου τῆς Πόλεως, Νήφων, ἔδειξέ σοι, ἰσαγγέλου τρόπους βιώσεως, καὶ σὲ σκηνῶσαι παρώτρυνεν, Ἰάκωβε, εἰς τὸν Ἄθωνα, πρὸς ἀρετῆς ὁλοκλήρωσιν.

Αἴγλης θείας ἀπολαύεις, σὺν ἐνδόξοις συνάθλοις σου, θείῳ Ἰακώβῳ, καὶ Διονυσίῳ στεῤῥόφρονι, μεθ' ὧν ὁδὸν τῆς ἀθλήσεως διήνυσας, καὶ ὑπέμεινας, ἀγχόνην, μάκαρ Ἰάκωβε.

Θεοτοκίον.

Θεοτόκε, πρὸς ἐπάλξεις, οὐρανῶν με κατεύθυνον, Κεχαριτωμένη, Σὲ τὸν μεγαλύνοντα πάντοτε, ἀπλανεστάτην ὡς πάντων κατευθύντειραν, πρὸς σκηνώματα, ἀφθίτου δόξης, Πανάχραντε.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Λαμπὰς ὁσιότητος, καὶ λύχνε γενναιότητος, ἔνδοξε Ἰάκωβε, ἀρτίως, σῇ πολιτείᾳ, καὶ μαρτυρίῳ στεῤῥῷ, ἐφώτισας δῆμον εὐσεβῆ, ὑποδούλων ἔκγοσι, τῶν τῆς Ἄγαρ, νεόαθλε.

Ὡράϊσας πόνοις σου, μαρτυρικοῖς, Ἰάκωβε, τοῦ Χριστοῦ ἁγίαν Ἐκκλησίαν, σεμνυνομένην, νῦν εὐψυχίᾳ τῇ σῇ, ὁσίᾳ σου ὄντως βιοτῇ, καὶ σοῖς κατορθώμασιν, ἐν σταδίου τοῖς σκάμμασι.

Καλλώπισμα πίστεως, Ἰάκωβε, διέπρεψας, σῇ διδασκαλίᾳ θεοσόφῳ, θαυματουργίαις, ποδηγεσίᾳ σεπτῇ, τῶν σοὶ προσιόντων πρὸ νομὰς, ἀφθαρσίας, ἄλκιμε, καὶ καμάτοις ἀθλήσεως.

Θεοτοκίον.

Ἀνύστακτε πρόμαχε, τῶν πίστει προστρεχόντων Σοι, καὶ μεγαλυνόντων Σε ἐκθύμως, σκέπε Σοὺς δούλους, καὶ ῥύου πλάνου ὀργῆς, καὶ μήνιος πάντας ὑμνητὰς, Ἰακώβου μάκαρος, νέου Ὁσιομάρτυρος.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἰβήρων Σκήτεως ἔνοικε, Προδρόμου Ἰωάννου ὁμόζηλε, μάκαρ Ἰάκωβε, αὐτοῦ Μονὴν τὴν φερώνυμον, ἐν Αἰτωλίᾳ πόνοις, τοῖς σοῖς ἡγίασας.

Σοφίας θείας, Ἰάκωβε, ἀνάπλεως ὑπάρχων κατηύθυνας, πάντας πρὸς θέωσιν, ἀζύγους σοι καταφεύγοντας, καὶ παρὰ σοῦ τοὺς πόδας, τοὺς μαθητεύοντας.

Ὑμνοῦμεν πόθῳ, Ἰάκωβε, κλεινὲ Ὁσιομάρτυς, νῦν μνήμην σου, τὴν ἀεισέβαστον, καὶ μεγαλύνομεν πόνους σου, ἀθλητικοὺς πρὸς δόξαν, τοῦ σὲ δοξάσαντος.

Θεοτοκίον.

Νῦν ὕμνοις πάντες ἐμπρέπουσιν, ὡς κόσμου ἐλεοῦσάν Σε μέλποντες, ἀπεκδεχόμεθα, τοῦ Σοῦ Υἱοῦ μέγα ἔλεος, καὶ οἰκτιρμῶν τὸ πλῆθος, Θεογεννήτρια.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ὁσιομάρτυς, λαμπηδὼν Ἰβήρων Σκήτεως, φωστὴρ τῆς Μάνδρας Δερβεκίστης καὶ φρυκτώρημα, νέον Ἀδριανουπόλεως, ἐν ἀγχόνῃ, σὺν δυάδι μαθητῶν σου ἐπεράτωσας, σὸν μαρτύριον καὶ δήμους πάντας ηὔφρανας, νῦν βοῶντάς σοι· Χαίροις, μάκαρ Ἰάκωβε.

Ὁ Οἶκος.

Ἄγγελοι οὐρανόθεν ἔστεψάν σε ἀξίως, Ἰάκωβε, τῆς πίστεως γέρας, σὺν δυάδι τῶν σῶν μαθητῶν, τῷ Διονυσίῳ, μοναστῇ ἔμφρονι, καὶ Ἰακώβῳ σώφρονι, πρὸς ὃν ἡμεῖς πιστῶς βοῶμεν·

Χαῖρε, ἐκβλάστημα Καστορίας·
χαῖρε, ὡράϊσμα Ἐκκλησίας.
Χαῖρε, τῶν Ἰβήρων τῆς Σκήτεως σέμνωμα·
χαῖρε, τῶν ὡραίων ἀγώνων ἐκτύπωμα.
Χαῖρε, ὅτι καθηγίασας Δερβεκίστης τὴν Μονήν·
χαῖρε, ὅτι πᾶσιν ἔδειξας σὴν οὐράνιον πνοήν.
Χαῖρε, τῆς εὐσεβείας νεαυγέστατον ἄστρον·

χαῖρε, τῆς εὐτολμίας ἀκλινέστατον βάθρον.
Χαῖρε, πυρσὸς νεόφωτος πίστεως·
χαῖρε, φανὸς ἀρίστης ἀθλήσεως.
Χαῖρε, ἀγλάϊσμα τῶν χριστωνύμων·
χαῖρε, κατάπτωμα τῶν μισοχρίστων·
Χαίροις, μάκαρ Ἰάκωβε.

Συναξάριον.

Τῇ α΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἰακώβου καὶ τῶν αὐτοῦ μαθητῶν καὶ συνάθλων Ἰακώβου Διακόνου καὶ Διονυσίου μοναχοῦ, τῶν Ἰβηροσκητιωτῶν.

Στίχοι.

*Ὁσίοις καὶ Μάρτυσι συνεπαγάλλῃ*
*σὺν μαθηταῖς σου, Ἰάκωβε στεῤῥόφρον.*

Ταῖς αὐτῶν ἁγίαις πρεβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ὁσιόαθλε, Ἰάκωβε, πανθαύμαστε, Μαρτύρων πρότυπον, τῆς Δερβεκίστης Μονὴ, βαλβὶς σῆς ἀθλήσεως, ἐδείχθη πάνσεπτος, ἐν ᾗ πρότερον, ἠσκήσω ὥσπερ ἄσαρκος, φοιτητῶν σου σὺν χορείᾳ.

Δένδρον Κτίσαντος, ἀγάπης εὐσκιόφυλλον, σεπτὲ Ἰάκωβε, ὑπὸ σῶν κλώνων σκιᾷ, ἀζύγων ἀνέπαυες, πληθὺν καὶ σύστημα, τῶν σπευδόντων σοι, Ἡγούμενε θειότατε, τοῦ Σεμνείου Δερβεκίστης.

Ἱερώτατε, Ἰάκωβε, ὑπέμεινας, εἱρκτὴν κατώδυνον, ξέσιν σαρκός σου, πληγῶν, δι᾽ ὄξους ἐπάλειψιν, στεῤῥέ, καὶ ἅλατος, πρὸς ἐπίτασιν, τῶν πόνων σου καὶ θάνατον, ἀπηνῆ ἐν τῇ ἀγχόνῃ.

Θεοτοκίον.

Ἀειπάρθενε, πρὸς οὐρανῶν κατεύθυνον, σεπτὰ σκηνώματα, τὰς ὁμηγύρεις πιστῶν, καὶ πάντας τοὺς σπεύδοντας, ὑμνολογῆσαί Σε, καὶ τὸν Τόκον Σου, δοξάσαι τὸν πανάχραντον, Ἰησοῦν τὸν Ζωοδότην.

## Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Αἴγλῃ θείᾳ περιβεβλημένε, Ἰάκωβε μάκαρ, νέε Ὁσιόαθλε, χάριν εὗρες ἄνωθεν, τοῖς ὑμνολογοῦσί σε, παρέχειν ἄμφω δύναμιν τοῦ παναλάστορος, συντρίβειν τοῦ δολίου ἐνέδρας, ῥίψαι τοῦ ζητοῦντος, πιστοὺς παθῶν εἰς λάκκον.

Ἵλεων ἀπέργασαι τὸν Κτίστην, τοῖς πίστει σε μακαρίζουσιν, Ἰάκωβε, ὡς ταμεῖον χάριτος, θαυμαστέ, ἀσύλητον, καὶ νέον Ὁσιόαθλον λαβόντα στέφανον, τῆς κλήσεως τῆς ἄνω ὑψόθεν, πρώταθλε στεῤῥόφρον, τοῦ σκάμματος σταδίου.

Νέε τοῦ Χριστοῦ Ὁσιομάρτυς, Ἰάκωβε, ἐν τῷ σκάμματι διέπρεψας, εὐκλεοῦς ἀθλήσεως, σὺν σεπτῶν συνάθλων σου, τῇ ξυνωρίδι, πάνσοφε, μεθ᾽ ὧν ὑπέμεινας, ἀγχόνην ἐν Ἀδριανουπόλει, τοῦ Διονυσίου, καὶ Ἰακώβου ἄλλου.

Θεοτοκίον.

Ἔλεος κατάπεμψον Σοῖς δούλοις, Υἱοῦ Σου μονογενοῦς, Θεογεννήτρια, τοῦ Παντελεήμονος, Λόγου τοῦ Παντάνακτος, ἡ ἐλεοῦσα ἅπαντας, τοὺς Σοὶ προστρέχοντας, καὶ τάχος κατοικτίρουσα, Μῆτερ, σπεύδοντας Σῇ σκέπῃ, καὶ θείᾳ ἀντιλήψει.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στῦλος ἀκλινὴς, ἀνδρείας, Ἰάκωβε, καὶ γενναιότητος, βάθρον ἀδιά-σειστον, ἐπώθης ἄρτι, Πάτερ πανόσιε, Νεομαρτύρων πίστεως Χριστοῦ καλλώπισμα, καὶ ἰθῦντορ, ἀπλανὲς πρὸ θέωσιν, τῶν τιμώντων τὴν πάνσετον μνήμην σου.

Ἴσθι ἀρωγὸς, ἐν δίναις προσφύγων σου ἀνευφημούντων σε, γεραρὲ Ἰάκωβε, καὶ ξυνωρίδα μακαριζόντων σου, τῶν μαθητῶν, θειότατε, μεθ’ ὧν ἠρίστευσας, ἐν σταδίῳ Ἀδριανουπόλεως, καὶ ἀπῆλθες πρὸς πόλου σκηνώματα.

Στήριζε πιστοὺς, εἰς πίστιν Ὀρθόδοξον ἀεὶ, Ἰάκωβε, καλλιμάρτυς Ὅσιε, τῆς εὐσεβείας φανὲ νεόφωτε, καὶ τῆς ἀνδρείας μέλαθρον, Πάτερ, νεότευκτον, χριστωνύμων τεῖχος ἀῤῥαγέστατον, πρὸς Θεὸν διαθέρμων δεήσεων.

Θεοτοκίον.

Χάριτος κρουνὲ, ἀκένωτε, Δέσποινα, δρόσισον δούλους Σου, νάμασι προνοίας Σου, ἑτοίμης, Μῆτερ, καὶ ἀντιλήψεως, πιεῖν ἐκ ταύτης σπεύδοντας, ὥσπερ

ὠκύποδες, Θεοτόκε, ἔλαφοι, Πανύμνητε, εἰς πηγὰς τῶν ὑδάτων, Θεόνυμφε.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁσιομάρτυς γενναῖε, τῶν νεοάθλων κορυφή, ὁ ἐν τῇ Σκήτῃ Ἰβήρων, ἀσκήσας καὶ μαρτυρικῶς, αἰωρηθεὶς ἐν ἀγχόνῃ, χαῖρε, Ἰάκωβε μάκαρ.

Θεοτοκίον.

Ῥύου κινδύνων Σοὺς δούλους, καὶ ἐχθρικῆς ἐπιβουλῆς, τήρει ἀπήμονας πάντας, Σὲ μακαρίζοντας πιστῶς, εἰς τοὺς αἰῶνας αἰώνων, εὐλογημένη Παρθένε.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες, ἐγκωμιάσωμεν, Ἰάκωβον τὸν νέον, ἐκ τῆς περιοικίδος, ὁρμώμενον εὐάνδρου καὶ εὐσεβοῦς, Καστορίας ἐν ᾄσμασι, σὺν μαθητῶν τῇ δυάδι αὐτοῦ λαμπρῶς, ὡς στεῤῥὸν Ὁσιομάρτυρα.

Ἰβηρικῆς δεῦτε πάντες, Σκήτεως μέλψωμεν, τὸν ἀσκητὴν ἐν ὕμνοις, τοῦ Τιμίου Προδρόμου, Ἰάκωβον τὸν νέον ἐν Ἀθληταῖς, καὶ Ὁσίοις κραυγάζοντες· χαῖρε, εὐτόλμων Πατέρων νεολαμπῶν, παμφαέστατον ἐκπύρσευμα.

Τοὺς τρεῖς στεῤῥοὺς καὶ ἐνδόξους, Ὁσιομάρτυρας, ἐν Ἀδριανουπόλει, τοὺς ἀπαιωρησθέντας, τιμήσωμεν

ἐκθύμως πάντες πιστοί, νῦν Ἰάκωβον πάνσεπτον, σὺν Ἰακώβῳ τῷ τούτου συναθλητῇ, καὶ Διονυσίῳ μάκαρι.

Ἀναστασίας ἡ Μάνδρα, τῆς καλλιμάρτυρος, ἣν ἔκτισεν ὁ θεῖος, Θεωνᾶς μαθητής σου, κατέχει σῶν λειψάνων θήκην σεπτὴν, ὡς θησαύρισμα τίμιον, Ὁσιομάρτυς Ἰάκωβε θαυμαστέ, νέον πίστεως καλλώπισμα.

Δόξα. Ἦχος πλ. α΄.

Ὁλικῶς ἑαυτὸν Θεῷ ἀφιερώσας, ἔκτυπον μοναστῶν, ποδηγετῶν ἀπλανῶν πρόβολος, καὶ ἀκροθίνιον μαρτυρικῆς παῤῥησίας πέφηνας, Ὁσιομάρτυς νέε Ἰάκωβε· σὺ γὰρ ἀμέμπτως πολιτευσάμενος, καὶ στεῤῥοψύχως ἀθλήσας μετὰ τῶν μαθητῶν σου τῇ δυάδι, Αὐτῷ αἰωνίως ἠξιώθης συναγάλλεσθαι, τῷ διὰ σοῦ παρέχοντι πᾶσι τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις, ἴον εὔοσμον ἀρετῆς, τῆς περιοικίδος, Καστορίας σεπτὲ βλαστέ, σὺν τῶν μαθητῶν σου, Ἰάκωβε, δυάδι, Ὁσιοάθλων νέων, κλέϊσμα πίστεως.

Τρισσεῦον, "*Κύριε, ἐλέησον*", ὡς ἐν Λιτῇ Ἁγίου Ὄρους.

Σὺν τοῖς σοῖς, *Ἰάκωβε,** μαθηταῖς, νεόαθλε,* Ὅσιε, βοήθει μοι.

Δίστιχον.

*Ἰάκωβον, Ὁσιομάρτυρα νέον,*
*Σεραφεὶμ χάριν ᾔνεσε Χαραλάμπης.*